332. *Tomis.* E titulis Tomitanis a Cumanude editis *Pandora* XIX (1868), 437, 84 sq. (cf. Perrot, *Mém. d'Arch.* 1875, 187), n. 12 ed. E. Preuner, *Ath. Mitt.* XLVI, 13:

Ἄπιος Ὀνήσιμος εὐποσιάρχης | τὸ μνημεῖον κατεσκεύασεν ἐκ τῶν ἰδίων ἑαυτῷ καὶ τοῖς ἰδίοις· | ἐὰν δέ τις ἕτερος τολμήσῃ
5 τινὰ ‖ θεῖναι ἐν αὐτῷ, δώ(σ)ε(ι) προστείμου ἰς | τὸ ταμεῖον μύρια πεντακισχίλια | καὶ τῇ πόλει πεντακισχίλια.

1 De εὐποσιάρχης cf. Kalinka, *Ant. Denkm. in Bulgarien* (1906), 112. ‖ 6 μύρια sc. δηνάρια; cf. δώσει - - δηναρίων μυριάδας [- -] IG XII_2. 562. Cr.

333. Ibid. E *Pandora* XIX, p. 85, n. 13 ed. E. Preuner, *op. cit.*, p. 13.

... Ποντια[νὸς - - - - δ | καὶ?] Τομείτης, [φυλῆς | Αἰ(γι)κο]ρέων
5 τεχν[είτης] | χρυσοχόος ἀ[ρχι]‖τεκτόνω[ν ζῶν καὶ | φρο]νῶν ἑαυτῷ [καὶ | ...] ψααμπαθι - - - -

INSULAE MARIS AEGAEI.

334. Mercatorum recensus, saec. II vel I. — *Deli.* Dedicationes porticibus fori Romani inscriptae. *A, B, C,* epistylia dorica porticus inferioris; *D, E, F, G,* epistylia ionica porticus superioris. Ed. I. Hatzfeld, *B.C.H.* XLV, 471 sqq.

A. [Φι]λ[όστρατος Φιλ]οστράτου Ἀ[σκ]αλ[ω]ν[ίτης τραπε]ζιτε[ύων] ἐν [Δήλω]ι ὑπὲ[ρ ἑαυτοῦ καὶ τ]ῆ[ς πόλεως Ἀπόλ]λων[ι καὶ Ἰτ]αλικο[ῖς].

B. [Γάϊο]ς Ὀφέ[λλιος] Μ[αάρκου υἱὸς - - - Ἀπόλλωνι καὶ Ἰταλικοῖ]ς.

C. - - - ἰου Γάϊ[ος - - -] | Αὔλος Καλούι[ος - - -]

D. - - n [- - - - porticum de sua Apollini] et [Ital]i[ceis dederu]n[t]. (*vac.*) - - - - ος Μα - - κο [- - τὴν στο]ὰν [ἐκ τῶν ἰδίων Ἀπόλλωνι καὶ Ἰτ]αλι[κοῖ]ς.

E. - - - ladu [- - f. G. (?) - - - - L. Mae]cius Q. l. porticum A[pollin]i e[t It]aliceis de[d]erunt. [- - - - λαδου - -] ου υἱὸς Γ[- - - - Λ]εύκιος Μαίκιος Κοίντου τὴν στ[οὰν Ἀπόλλ]ωνι καὶ [Ἰταλικοῖς ἀνέθη]καν.

F. - - - T. Crepereiu[s - - - - - - - - - - - - - - -] Nonius [- - - - - ου υ]ἱὸς τραπεζίτης Τίτος [Κρεπέρηιος - - - Νώνιος Γαΐου

C. l. Artax[ias D. An - - iu]s C. l. L. Caecilius Ἀ]ρταξίας Δέκμος Αν[- - ιος Γαίου Λεύκιο]ς Καικίλιος Αὔλου Ζέφυρος

A. l. Zephuru[s A]gathocle[tis f. T.] Popillius
Ἀγαθοκλέους Τίτος Ποπίλλιος Ποπλίου Ἑρμαϊσταὶ τὴν [στοὰν Ἀπόλλωνι

[P. l. Magist]rei porticum [Apollini et Italiceis dedicaverunt].
καὶ Ἰταλικοῖς ἀνέθηκαν].

G. C. Ve----- [etilenus] Q. f. Marcel. C.
[Γάϊος Οὐη----------] ετιληνος Κοίντου υἱὸ[ς

Vibius M. f. M. Magulnius M. f. N. Maecius
Μάρκελλος Γάϊος Οὐίβιος Μαάρκου υἱὸς Μάαρκος Μαγώλνιος Μαάρκου υἱὸς Νεμέριος

L. l. A. No[vius L.? Apollophanes --- M.----
Μαίκιος Λευκίου Αὔλος Νόνιος Λευκίου---- Ἀπ]ολλοφ[άνης-- Μ]αάρκου---

M.' C]lu[vius---] C. V[arius--- Q.] Ota[cilius--] S. St[er]ti-
[Μάνιος Κλόνιος---- Γάϊος] Οὐάρ[ιος-- Κόιντος Ὀτακίλιος-- Σπόριος

[nius S.?---] eminiu[s---] A. G[eri]llanus Mar. [f.---
Στερτίνιος Σπορίου--ημίνιος---- Αὔλος Γερίλ]λαν[ος Μαραίου υἱὸς---

---- p]or[ticu]m de sua [Apollin]i et [Ita]liceis d[ed]er[unt].
τὴν στοὰν ἐκ τῶν ἰδίων Ἀπόλλωνι καὶ Ἰταλικοῖς ἀνέθηκαν].

Verborum dispositio nonnumquam dubia est. — Satis constat porticum a mercatoribus plerisque Italicis dedicatam esse, qui in insula secundo a. Chr. saec. exeunte et primo ineunte habitabant (cf. I. Hatzfeld, *Les Italiens résidant à Délos*, *B.C.H.* XXXVI, 5 sqq., et *Les trafiquants italiens dans l'Orient hellénique*. Paris, 1919). — *E.* 1 sq.: cf. *Λεύκιος Ποστούμιος Κλάδος* IG XII$_5$.701 (Syri). Hiller.

335. Lex Gabinia Calpurnia de Deliis, a. 58. — Ibid. Stela marm. albi a sinistra tantum integra, a. 1907 *Myconi* reperta, *Delo* autem delata; in altero enim latere hieropoei nescio cuius anni rationes suas incidendas curaverant (IG XI. 380). In adverso latere lex Latine et Graece inscripta est, qua Deli incolis immunitas collata erat. Edd. cum imagine phot. E. Cuq, *B.C.H.* XLVI, 198 sqq., posterius Dürrbach, *Choix d'inscr. Délos*, n. 163, cuius supplementa recepimus. Perpaucae litterae graecae servatae sunt.

[A. Gabinius A. f. Capito cos., L. Calpurnius L. f. Piso cos. de s(enatus) s(ententia) popu|lu]m iuure r[ogavere populusque iuure scivit --- pro aede C]astor(is) a(nte) d(iem) VI Ka[l(endas) (mensis), Tribus -- principium fuit,] | A. Gabinius A. f.
5 Capito pro [tribu primus scivit: Velitis || iu]beatis. Quom res publica pot [--divinis-] b]us ac consilieis sit aucta q[uomque--- | cl]arissumae ceivitatis sit confirma[ta--- | .] decorata, in quo numero fanum A[pollinis --- antiquissu|m]um
10 ac religiosissumum sit constitutu[m---- || .] em et sanctitatem caerimoniasq(ue) pr [--- Delum] | insulam, in qua insula Apollinem et Dianam n[atos esse arbitrantur?], | vecteigalibus leiberari, quae insula post hominum me[moriam semper fuit?] | regum, ceivitatium nationumque imperieis sacra leib[era immunis? | qu]omque praedones, quei orbem te[r]rarum com-
15 plureis [annos vexarint? fa||n]a delubra simu[la]cra deorum immor[t]alium loca religio[sissuma devas|t]arint, lege Ga[b]inia superatei ac deletei s[i]nt, et omneis rel[iqua] | praeter insu[l]am Delum sedes Apollinis ac Dianae in antei[quom splendo|r]em sit rest[it]uta populeique Romani dign[it]atis maiestatis[que causa? pulcher]|rume administrata, imperio am[pli]ficato [p]ace
20 per orbe[m terrarum || il]lam insul[a]m nobilissumam ac sa[nc]-tissum[a]m deis inmo[rtalibus restitui? | et i]nsulam l[ei]berari. Neve ..... sit ... quom vectigal eius [--adiudi]catione quam I. C. A. -- sup. (?) Delei feceru[nt --], | neve quid aliud vec[teigal neve pro c]ustodia publicei fr[umentei ne|v]e quis post[ea] insula[s illas vicin]as [qu]ae circum De[lum iacent], ||
25 Artemitam, C. Iadeam, --- as locet neve--- | et eas insulas [fa]ciat [--quei(?)] Delum inc[olunt queique postea] | incolent vec[tei]gal --- iure insul[as?--] | verunt, fuerunt --- Mitridates in-- | . m iure insula Delus [queique eam in]colent
30 sint c---|| . udemve quam int [--- De]lumque ad --- Delum queique eam in[colent insulas]ve quae s(upra) s(criptae) s(unt)[--|s]ei eius familia pe[cuniave plus] minus dim[inuta sit--] | ere populei pleb[isve-]it magist[ratus prove magi-
35 stratu -] | ua iudicatioque -- interced [--- quomi||nu]s setiusve d(e) e(a) r(e) i[udicetur si]ve iudicium [fiat liceto]. | S(i) S(acrum) S(anctum) E(st) Q(uod) [N(on) (I)ure S(it) R(ogatum), E(ius) H(ac) L(ege)] N(ihil) R(ogatur). | [*Αὔλος Γ]αβείνιος Αὔλου υ[ἱὸς Καπίτων] ὕπ[ατος καὶ Λεύκιος Καλπούρνιος Δευκί|ου-- υἱὸ]ς Πείσων ὕπατο[ς----- | δικαί]ως ἐκύρω-*
40 *[σε-----||--- προ ἡμερ]ῶν ἓξ καλ[ανδῶν-------]*

A. Gabinius Capito et L. Calpurnius Piso consules a. 58 a. Chr. — De ambitu versuum editores nihil indicaverunt. Hoc titulo legem a populo Romano iussam contineri ratus est Cuq. — 1 sqq. suppl. Cuq. || 16 rel[iqua] suppl. Hiller, Cr. || 36 suppl. Cuq.

336. Ibid. In dissertatione, quae: „*L'agalma des Dionysies de Délos*" inscribitur, R. Vallois, adiuvante F. Dürrbach, *B.C.H.* XLVI, 94 sqq., omnes locos Deliacorum laterculorum collegit, in quibus de bacchica pompa atque de simulacro ligneo, quod mense Galaxione quotannis Delii conficiebant, agitur.

337. Ibid. *C.I.G.* 2270 (= Dürrbach, *Choix d'inscr. d. Délos*, n. 79) decretum a cleruchis Atheniensibus Delum incolentibus in honorem Eubuli Marathoniensis factum perscrutatus est Th. Ho-

molle, *C.R.A.I.* 1922, 131 sqq. et definire conatus est quo ordine Eubulus sacerdotiis Cabirorum, Aesculapi, Bacchi functus esset (cf. Dürrbach, *op. cit.*, p. 279).

338. Ibid. Stationem Deliacam *Βηρυτίων Ποσειδωνιαστῶν ἐμπόρων καὶ ναυκλήρων καὶ ἐγδοχέων* descr. Ch. Picard, *Expl. Arch. Délos* VI, qui nonnullos titulos a collegio sive in statione sive ad orientem fori Theophrasti dedicatos commemoravit.

339. M. Holleaux disputationi suae de Ptolemaeo Epigono, *J.H.S.*, XLI, 183 sqq., appendicem addidit, in qua, adiuvante F. Dürrbach, omnes locos titulorum Deliorum, cum notorum tum nondum editorum, citat quibus Ptolemaeus, Lysimachi filius commemoratur.

340. De titulis Deliacis a. 1894—1919 editis rettulit E. Ziebarth, Fünfundzwanzig Jahre griechischer Inschriftenforschung 1894—1919 (3to Fortsetzung), *Burs. Jahresb.* 193 (1922), III 60—78. Ibi egit p. 68 de IG XI. 1052, 7 sq., suppl. XI, 1063, 4 [*πληρῶ*]*σαι τὸ δικαστήριον*, disputavit p. 70 sq. de titulis eranistarum, thiasotarum, melanephororum, therapeutarorum Deliorum nec non de synodo Posidoniastarum Berytiorum. In fine affert libellum nondum typis mandatum, K. Gerth, Beiträge zur Wirtschaftskunde von Delos, dissert. inaug. Hamburg. 1922, qui correxit IG XI. 135, 16 ΓΗΗ ex ΗΗΗ, suppl. 142, 56 [*κ*](*ο*)*λλ*[*ή*]*σαντι Δεξίωι* (ΛΛΛ ed.), 144 A 17 *Ἀνδρομέν*[*ης Ξένωνος*] (cf. 161 A 30, 162 A 23), ib. A 18 *Ἀνδρομένης κατέβαλ*[*ε* | *ἔκ*]*τ*[*εισμα*] (cf. A 20 *ἄλλο ἔκτεισμα*), ib. A 26, fin. numerus *X* corrigendus in *X*(*H*Γ), 144 B 74 [*οἱ*] *ἐγγεγραμμένοι*, 146 A 9 [*Ἱ*]*ππο*[*δρόμου*] qua vs. 9/10 praedia enumerantur, ib. A 16 (*τ*)*ρά*[*γου*] *ἀπ*[*ουανάτος*] (cf. 158 A 31), 154 A 12 ΓΔΔΔΔΓΗ (merces ministri), ib. A 14 ΔΗΗΗ (merces aeditui), 156 A 19 *ἐκ φιάλης περισ*[*τερῶν*] (cf. 287 A 19), 158 A 51 [*ἀρχιτέκτονι μ*]*ηνὸς Δηναιῶνος μισθὸς*, 163 A 1 [*ἥλους* vel *γόμφους εἰς*]*τὰς θύρας*, 179. 14 [*μύ*]*ρου ὀοδινου*, 199 A 16 *ἐκ τῶν* [*ἐκκλησιῶν*] (cf. 287 A 9 sq.), ib. A 18 *ἐκ τῆς* [*πεντηκοστῆς*] (cf. ib. A 8 sq.).

341. Titulum hieronautarum Tyriorum *C. I. Semit.* I. 138, n. 114 (*B.C.H.* IV, 69) non perditum esse, verum *Athenis* in museo epigraphico conservari et E. Ziebarth, *Burs. Jahresb.* 193 (1922), III 73, quocum I. Kirchner ectypum communicaverat, et A. Wilhelm, *Ph. Woch.* 1923, 693 adnotaverunt; Wilh. citat M. Schwab, Rapport sur une mission de phil. en Grèce, *Nouv. arch. d. miss. scientifiq. et littér.* XXI (1916), 83 sq., ubi tit. perperam descriptus est.

342. Ad tit. *B.C.H.* XXXII, 430, n. 43 (cf. 362) in honorem Stoli Theonis f. aulici regis Ptolemaei X Soteris II (cf. etiam *O. G. I.* 173) nova attulit A. Wilhelm, *Anz. Ak. Wien* 1921, n. XVIII, 82, qui de munere Stoli *πρὸς ταῖς ἡνίαις* disputavit, quod redit I Maccab. 6, 28.

THERA.

343. IG XII₃. 327 (cf. imaginem *Thera* I, tab. 25; Kern, *Inscript. Graecae*, tab. 33), 466 I (= *O.G.I.* 102; *Archiv Pap.* VI, 20), 466 II, 467. De his titulis arte inter se coniunctis denuo egit editor F. Hiller de Gaertringen, *Klio* XVII, 94 sq.

Epistula regis Ptolemaei (n. 327, 1—16) atque ara n. 466 I scriptae sunt a. 18 regis, i. e. a. 163 a. Chr., forma A litterae alpha adhibita; postea forma A conscriptae sunt basis n. 467 atque ara n. 466 II, utraque ab eodem Aristippo positae, qui fuit *τῶν διαδόχων*. quod munus ante saec. II ignotum est.

n. 466 I versus erasos 1—8 suppl. id. *op. cit.* p. 96 hoc modo: [*Βασιλεῖ Πτολεμαίωι καὶ* | *βασιλίσσηι Κλεοπάτραι θεοῖς Φιλο-*
5 *μήτορσι καὶ τῶι υἱῶι*] | *Πτολεμα*[*ίωι κα*]*ὶ τοῖς ἄλλοις* ‖ *θεοῖς τὸν* [*βω*]*μὸν* [*κατε*|*σκεύασαν Ἀρίστιππος* | *Θεοξένου Ἀλεξανδρεὺς* | *τῶν διαδόχων δ τεταγμένος ἐπὶ Θήρας καὶ*] *Εἰρηναῖος κτέ.*

n. 466 II interpretatus est id. *op. cit.* p. 96 atque de fastis a. 163 mutatis („Kalenderverschiebung") egit p. 97.

COUS.

344. *Coi* in insula. Verba legis sacrae de sacerdotio Veneris saec. II ineuntis, quae excerpsit R. Herzog, *Archiv Rel. X* (1907), 211: *τᾶν δὲ κλαικῶν τῶν θησαυρῶν κυριευόντω τοὶ προστάται παὶ ἀνοιγόντω μετὰ τᾶς ἱερείας καθ' ἕκαστον ἐνιαυτὸν ἐμ μηνὶ Δαλίωι· καὶ τὸ μὲν ἥμισσον ἔστω τᾶς ἱερείας, τὸ δὲ ἥμισσον ἀναπεμπόντω ἐπὶ τὰν δαμοσίαν τράπεζαν ἐς τὸν ὑφεστακότα τᾶς θεοῦ λόγον καὶ λόγον χρηματιζόντω ἐς τὰ δαμόσια γράμματα. τὸ δὲ χρῆμα τοῦτο ὑπαρχέτω ἐς κατασκευάσματα ἅ κα δόξῃ τᾶι ἐκκλησίᾳ καὶ ἐς ἐπισκευὰν τοῦ ἱεροῦ.* interpretatus est E. Ziebarth, Hellenistische Banken, *Zeitschrift für Numismatik* XXXIV (1922), 36/7.

Idem ex alia lege sacra inedita de sacerdotio Aesculapii saec. I ineuntis teste Herzogio affert verba haec: [*τᾶν δὲ κλαικ*]*ῶν μίαν μὲν* | *ἐχέτω δ ἱερεύς*, [*ἑτέραν δὲ τοὶ προστάται*(?), *τρίταν δὲ τοὶ ἐπιστά-* — *sive ἐπιμελη* — *sive τραπεζῖ*]*ται τᾶς τοῦ θε*[*οῦ* | *τραπ*]*έζας· δ* [*δὲ ἱερεὺς καὶ τοὶ* ..... *ἀνοιγόντωι τὸν θησαυρὸν καθ' ἕκ*]*αστον ἐνιαυτὸν* [*καὶ* | *ἀφ*]*αιρεύντωι τ*[*ὸ μὲν τρίτον μέρος τῶι ἱερ*]*εῖ, τὰ δὲ δύο μέρη* | [*φ*]*ερόντωι ἐπὶ τὰ*[*ν τράπεζαν* .... *ἀνάθεμα εἰς τὸ ἱερ*]*ὸν ἀπὸ τᾶν ἀπαρχᾶν* | *ἅ κα δόξῃ τῶι δ*[*άμωι* ...], de quibus Herzog egit *l. a.* in addendis.

Ad *Leg. Graec. sacrae* 140, 10 (= Herzog, Koische Forschungen XXXIX, n. 9), idem Herzog attulitit *l. a.* lectiones novas has: vs. 10: *ὅσσοι μέν κα ἐργολα*‖*βήσωντι* [*ἔργον ἔ*]*στε* | *ἃ ἀπὸ* ...

17 sqq: θυόντ[ω]ι δὲ καὶ τοὶ ἀποδεικνύμενοι πάν|τες ὑπὸ [τῶν τ]ραπεζειτᾶν ἢ ἄλλως πως | καθίζοντες ἐπὶ τᾶν τραπεζᾶν | ἕκαστος ἱερεῖον [L] $\overline{\nu}$, τά τε γέρη διδότω[ι] | κατὰ τὰ γεγραμμένα . . .

PARUS, SIPHNUS.

345. Classiarii Rhodii, saec. I p. Chr. — *Pari.* Fragmentum stelae, fortasse Rhodo allatum. Edd. F. Hiller de Gaertringen et M. Crispi, *Λαογραφία* 1922, 58, n. 6.

Ἐπὶ Ἑρμοδίκου | [το]ῦ Ἁγήμονος, τριηρά[ρχου] | Ἀντιπάτρου, δεκατάρχ[ου Δι]|οκλεῦς, τοίδε ἔπλευσαν [ἐν τᾷ Εἰ]||ρήνᾳ Σεβαστᾷ· | [ὁ δεῖνα - - -]νου, Χρυσάωρ καὶ Τιμοκρά[της τοῦ δεῖνος, | - - -] ας Στράτωνος, Εὐφρόσυ[νος τοῦ δεῖνος - - - -]

Recensum classiariorum Rhodiorum esse editores comprobaverunt. — 1 non fuit Ἑρμόδικος magistratus eponymus (Rhodiorum) sed praefectus classis. Hiller. || 4/5 Εἰρ. Σεβ. nomen navis, cf. IG XII$_1$.58, 20 (Εὐα[νδρία Σεβάσ]τά, suppl. ab A. Wilhelmo *Jahresh.* III, 50, 11 nec non a M. Chaviara *Ἀρχ. Ἐφ.* 1913, 9), XII$_3$.104 (Εὐανδρία Σεβαστά), *Jahresh.* IV.159 (Εὐανδρία). *Bull. Acad. Danemark* 1905, 52 (Εὐανδρία Σεβαστά), *Ἀρχ. Ἐφ.* 1913, 10, n. 9 (Εὐανδρία). *Annuario* III, 11, n. 18 (Εὐανδρία Σεβαστά).

346. Decretum Siphniorum, saec. III. — *Siphni.* In oppido *Kastro.* Saxum oblongum a tribus partibus fractum, profectum, ut videtur, e curia. E schedis quas misit G. Welter. Litt. saec. III.

[Θ]εοί. | [Μη]νὸς Μα[ιμ]ακτηρ[ιῶν]ος, ἔδοξεν [τῆι βουλῆι καὶ] | τῶ[ι δήμωι], Ἀξίπολις Ἀρ[χ]ωνίδου εἶπεν· [ἐπειδὴ | ὁ δεῖνα τοῦ δεῖνος καὶ ὁ δεῖνα τοῦ δεῖνος εἰ]||σ[ιν] ἄν[δρ]ες ἀγαθοὶ καὶ γενόμενοι [(nomen magistratus) μετὰ | σπουδῆς ἐπεμε]λήθησαν τῶν κατὰ τὴν ἀρχὴν [εἰς πάντα | γεγονότες χρήσ]ιμοι καὶ φιλοτίμως πᾶσιν ὁμοίως [προσηνέχθησαν | - - - -]

1/6 suppl. Hond. || 3 in apographo legitur ΤΩ . . . . . ΑΞΟΠΟΛΙΣ, *i. e.* Ἀξίπολις (cf. Bechtel, *Hist. Personenn.* 375), attamen Ἀναξίπολις posci videtur. Hond. || 6/7 suppl. Cr.

347. Ibid. Saxum oblongum a dextra et infra mutilum, fortasse profectum e curia. E schedis quas misit G. Welter. Litt. saec. III.

Ἀναγέγραπται ψήφισμα [ὥστε] | δοῦναι τοὺς πρυτάνεις φά[σιν] | καὶ λόγον ἐγγράψασθαι - - - - -

Suppl. Hond. — 2 δοῦναι φάσιν idem esse videtur ac „indicare, referre", ita quidem ut rationibus relatis res ad iudices posset deferri, cf. καὶ εἶναι φάσιν τῶι βου[λ]ομένωι τῶν πολιτῶν - - ἐπὶ τῶι ἡμίσει *Inschr. v. Magn.* 100^b, 35, simil. *Inschr. v. Priene* 195, 24; secutum est in lapide ipsum plebiscitum. Cr. || 3 ἐγγράψ. = ἐκγρ. id.

348. Ibid. Stela sepulcralis. E schedis quas misit G. Welter. Litt. saec II (?).

Ἀναξίδημος | Ἀναξιδήμου | τοῦ Θεμίστωνος.

SAMUS.

349. Decretum cleruchorum Atheniensium, ante a. 322. — *Sami* in museo. Inv. n. 169. Fragm. marm. albi, a dextra integrum. Ed. M. Schede, *Ath. Mitt.* XLIV, 3, n. 4.

[. . . . .^{11}. . . . . ἔδοξε τῶι δ]ήμωι· τὰ μ[ὲν | ἄλλα καθάπερ τῆι βουλ]ῆι: ἐπειδὴ δὲ | [. . . . . .^{17}. . . . . .]ίου Ἐλαιούσι [ὁς ἐστιν ἀνὴρ ἀγαθὸ]ς καὶ νῦν καὶ || [ἐν τῶι πρόσθεν χρόνωι] περὶ τὸν δῆμον | [τὸν ἐν Σάμωι, ἐπαινέσ]αι αὐτὸν καὶ στε- | [φανῶσαι χρυσῶι στε]φάνωι ἀπὸ Π δρα | [χμῶν ἀρετῆς ἕνεκεν] καὶ δικαιοσύνης | [τῆς εἰς τὸν δῆμον τ]ὸν ἐν Σάμωι καὶ || [ἀνειπεῖν αὐτὸν τ]οῖς τραγωιδοῖς τ[ῶν | μεγάλων Διονυσίων] τοὺς πρέσβει[ς | - - -]

350. Batichus Sonici f. Cous a Samiis honoratur, c. a. 322—306. — Ibid. Inv. n. 244. Stela marm. albi cum echino, abaco, acroteriis, infra fracta. Ed. M. Schede, *op. cit.* 5, n. F.

Βατίχου Κώιου. |

Ἔδοξε τῆι βουλῆι κ[αὶ] τῶι δήμωι· | Πάμφιλος Κριτοδήμου εἶπ[ε]ν· ἐπειδὴ | Βάτιχος (Σ)ωνίκου Κῶιος ἐν τῆι φυγῆι χρή||σιμος καὶ εὔ[νους (ὢν) ἐ]ν ἅπαντι καιρῶι τῶι δήμ|ωι τῶι Σαμ[ίω]ν καὶ ἰδίαι τοῖς ἐντυγχάνουσι|ν διετέλει προθύμως ὑπηρετῶν καὶ νῦν | ἐπαγγέλλ[ετ]αι π[οι]ήσειν ἀγαθὸν ὅτι ἂν δύ|νηται τὸν δῆμον [τὸ]ν Σαμίων, δεδόχθαι || τῆι βουλῆι καὶ τῶι δήμωι· ἐπαινέσαι τε | Βάτιχον Σωνίκου εὐνοίας ἕνεκα καὶ προ|θυμίας ἣν ἔχων διατελεῖ περὶ Σαμίους | καὶ εἶναι αὐτὸν πρόξενον καὶ εὐεργέτ ην τοῦ δήμου τοῦ Σαμίων, εἶναι δὲ αὐτῶι || καὶ ἔκπλουν καὶ εἴσπ(λ)ουν καὶ ἐν εἰρήνηι καὶ | ἐν πολέμωι ἀσυλεὶ καὶ ἀσπονδεὶ καὶ ἔφοδ ον ἐπὶ τὴν βουλὴν καὶ τὸν δῆμον ὑπ(ὲ)ρ ὧν ἂ(ν) | δεῖηται πρώτωι μετὰ τὰ ἱερὰ καὶ τὰ βασιλικά· | δεδόσθαι δὲ αὐτῶι καὶ πολιτείαν ἐφ' ἓ||σηι καὶ ὁμοίηι καὶ αὐτῶι καὶ ἐκγόνοις | καὶ ἐπικληρῶσαι αὐτὸν ἐπὶ φυλὴν καὶ | χιλιαστὺ(ν) καὶ ἑκατοστὺν καὶ γέν|ος καὶ προσαναγράψαι εἰς τὸ γένος | ὃ ἂν λάχηι καθότι καὶ τοὺς ἄλλους πο||λίτας, τῆς δὲ ἀναγραφῆς ἐπιμεληθῆν|αι τοὺς ἐπὶ τῆι ἀνα . . ε . . . .

Hoc decretum ut sequentia e serie eorum est, quibus Samii, in patriam restituti (post a. 322), gratias egerunt civibus aliarum urbium ubi Samii exsules bene recepti erant atque mercaturae Samiae novas sedes invenerant; cf. quae exposuit Schede, *l. c.* 14. — 4 φυγῆι sc. a. 366/5 vel 352/1 — 322. || 5 (ὢν) add. Cr. || 18 i. e. post legationes epistulasque a regibus missas, cf. Sauppium ad titulum Samium *Syll.*^{3} 333, 24. || 22 de iuribus atque officiis chiliastyum cf. legem Samiam de frumento *Syll.*^{3} 976 cum commentario Wilamowitzii *S. B. Ak. Berlin* 1904, 931. || 23/5 eadem formula redit *Syll.*^{3} 312, 31; ceteros locos de hac anagraphe collegit Wilhelm, *Beitr.* p. 234. || 26 fortasse: ἀνα[τάξ]ε[ι . . .] vel ἀνα[γγ]ε[ίλαι]. Hiller.

351. Theotimides Theophili f. Macedo a Samiis honoratur, c. a. 322—306. — Ibid. Inv. n. 213. Stela marm. albi cum echino et abaco. Ed. M. Schede, *op. cit.* 11, n. M. Litt. pulcherrimae saec. IV.

Θεοτιμίδηι Θεοφίλου Μακεδόνι. |
Ἔδοξεν τῶι δήμωι, Νανίσκος Ἐπιγένους | εἶπεν· ἐπειδὴ Θεοτι-
5 *μίδης Θεοφίλου | Μακεδὼν ἔν τε τῆι φυγῆι διατρίβων || παρ' Ἀντιγόνωι χρήσιμον ἑαυτὸν | παρείχετο τῶι δήμωι καὶ νῦν ἰδίαι τε | τοῖς ἐντυγχάνουσι τῶμ πολιτῶν | χρήσιμος ὢν διατελεῖ καὶ κοινῆι τῆι | πόλει, δεδόχθαι τῶι δήμωι· ἐπαινέσαι ||*
10 *τε Θεοτιμίδην εὐνοίας ἕνεκε καὶ προθυ|μίας ἣν ἔχει περὶ τὸν δῆμον τὸν Σαμί|ων καὶ ἀναγράψαι αὐτὸν πρόξενον καὶ | εὐεργέτην τοῦ δήμου, δεδόσθαι δὲ | αὐτῶι καὶ πολιτείαν ἐφ' ἴσηι*
15 *καὶ ὁμοίαι καὶ || αὐτῶι καὶ ἐγγόνοις καὶ ἐπικληρῶσαι | αὐτὸν ἐπὶ φυλὴν καὶ χιλιαστὺν καὶ | ἑκατοστὺν καὶ γένος καὶ ἀναγράψαι | καθότι καὶ τοὺς ἄλλους Σαμίους, εἶναι | δὲ αὐτῶι*
20 *καὶ εἴσπλουν καὶ ἔκπλουν ἀσυ||λεὶ καὶ ἀσπονδεὶ καὶ ἐμ πολέμωι καὶ ἐν | εἰρήνηι καὶ ἔφοδον ἐπὶ τὴν βουλὴν καὶ | τὸν δῆμον ἐάν του δέηται πρώτωι | μετὰ τὰ ἱερὰ καὶ τὰ βασιλικά, ἐπιμε-|*
25 *λεῖσθαι δὲ καὶ ἄν τι παραγγέλληι Θεο||τιμίδης τούς τε στρατηγοὺς καὶ τοὺς | πρυτάνεις ἀεὶ τοὺς ἐνεστηκότας. | Τὸ δὲ ψήφισμα τόδε ἀναγράψαι ἐν στή|ληι λιθίνηι καὶ στῆσαι εἰς*
30 *τὸ ἱρὸν τῆς | Ἥρας· τὸν δὲ ταμίαν εἰς τὸ ἀνάλωμα || ὑπηρετῆσαι.*

5 Antigonus nondum rex appellatur (ante a. 306), cf. Schede, *l. c.* 13.

352. Timophanes Archepolis f. Phaselita a Samiis honoratur, c. a. 322—306. Ibid. Inv. n. 161. Stela marm. albi. Ed. M. Schede, *op. cit.* 10, n. L.

Ἔδοξε τῆι βουλῆι καὶ τῶι δήμωι, Βάττος | Παρμενίσκου, Εὔβουλος Θήρωνος εἶπαν· | ἐπειδὴ Τιμοφάνης Ἀρχεπόλιος
5 *Φασηλί|της ἔν τε τοῖς πρότερον χρόνοις εὔνους || καὶ πρόθυμος ὢν διετέλει καὶ κοινῆι τὸν | δῆμον εὐεργετῶν καὶ ἰδίαι τοῖς | ἐντυγχάνουσι τῶμ πολιτῶν καὶ κατα|βεβηκότων ἡμῶν εἰς τὴμ πόλιν χρήσιμον | αὐτὸμ παρέχεται καὶ κοινῆι τῶι δήμωι καὶ ||*
10 *ἰδίαι τοῖς ἐντυγχάνουσι τῶμ πολιτῶν | διαφυλάσσωμ μὲν τὴν εὔνοιαν, ἐν|δεικνύμενος δὲ τὴν αὐτοῦ πρὸς τὸν | δῆμον προθυμίαν, δεδόχθαι τῆι βουλῆι | καὶ τῶι δήμωι· ἐπαινέσαι μὲν*
15 *Τιμοφάνην || Ἀρχεπόλιος ἀρετῆς ἕνεκε καὶ εὐνοίας ἣν | ἔχων διατελεῖ περὶ τὸν δῆμον τὸν Σαμίων | καὶ εἶναι αὐτὸμ πρόξενον καὶ εὐεργέτην | τοῦ δήμου, δεδόσθαι δ' αὐτῶι καὶ πολιτείαν |*
20 *ἐφ' ἴσηι καὶ ὁμοίαι καὶ ἐπικληρῶσαι αὐτὸν ἐπὶ || φυλὴν καὶ χιλιαστὺν καὶ | ἑκατοστὺν καὶ | γένος καὶ ἀναγράψαι καθότι*

καὶ τοὺς | ἄλλους Σαμίους, ὑπάρχειν δ' αὐτῶι καὶ | ἔφοδον ἐπὶ τὴμ βουλὴν καὶ τὸν δῆμ[ον] | ἄν του δέηται πρώτωι
25 *μετὰ τὰ ἱερ[ὰ καὶ τὰ] || βασιλικὰ καὶ εἴσπλουν καὶ ἔκπ[λουν ἀσυλεὶ] | καὶ ἀσπονδεὶ καὶ ἐμ πολέμ[ωι καὶ ἐν εἰρήνηι], | ταῦτα δ' εἶναι καὶ αὐτ[ῶι καὶ ἐγγόνοις. Τὸ δὲ] | ψήφισμα τόδε ἀν[αγράψαι εἰς στήλην] | λιθίνην καὶ στ[ῆσαι εἰς τὸ ἱερὸν*
30 *τῆς Ἥρας], || τῆς δὲ ἐπ[ικληρώσεως καὶ τῆς ἀναγραφῆς] | ἐπιμε[ληθῆναι τὸν γραμματέα τῆς βουλῆς.]*

7 soloeca oratio, exspectes post *πολιτῶν χρείας παρεχόμενος*, cf. n. 358, 5. Cr.

353. Mico Magnes a Samiis honoratur, ante a. 306. — Ibid. Inv. n. 243. Fragm. stelae marm. albi, a laeva integrum. Ed. M. Schede, *op. cit.* 12, n. N.

Ἔδοξε τῆι βουλῆι καὶ τῶι δήμω[ι, ...]|μος Φιλτέω εἶπεν· ἐπειδὴ Μίκων . . . . νος Μάγνης φευγόντων τε [ἡμῶν] |
5 *εὔνους καὶ πρόθυμος ὢν δι[ετέλει περὶ τὴν] || κάθοδον τὴν Σαμίων πρ[άσσων τὰ συμ]φέροντα κοινῆι τῶι δήμ[ωι καὶ τοῖς] | ἐντυγχάνουσι τῶμ π[ολιτῶν ἰδίαι] | προθύμως ὑπηρετῶ[ν*
10 *καὶ νῦν κατα]|βεβηκότων Σαμίων [εἰς τὴμ πόλιν], || καταλαβόντος [δὲ - - - -]*

354. Draco Stratonis f. Cous a Samiis honoratur, p. a. 306. — Ibid. Inv. n. 204. Stela marm. albi. Ed. M. Schede, *op. cit.* 6, n. H.

[*Ἔδ*]*οξεν τῆι βουλῆι καὶ τῶι δή[μωι, | . . . .] κτης Ὑβλησίου εἶπεν· [ἐπειδὴ | Δράκω]ν Στράτωνος Κῶιο[ς ἔν τε | τοῖς*
5 *πρό]τερον χρόνοις [εὔνους || καὶ πρόθυ]μος ὢν διετέλ[ει περὶ τὸν | δῆμον τὸ]ν Σαμίων καὶ κο[ινῆι τῆι πόλει | καὶ ἰδίαι τοῖς ἐ]ντυνχάνουσ[ι τῶμ πολιτῶν χρήσι]μος ὢν καὶ κατ[ε-*
10 *ληλυθότων | ἡμῶν] εἰς τὴμ πόλιν δ[ιατρίβων παρὰ || τῶι β]ασιλεῖ Ἀντιγό[νωι πᾶσαν ἐπιμέλ|ειαν] ἐποιεῖτο τοῦ δή[μου καὶ τῶν | πρέσ]βεων τῶν ἀφικνο[υμένων ἐκ | τῆς] πόλεως ἐπεμελ[ήθη, δεδόχθαι | τῆι β]ουλῆι καὶ τῶι δήμ[ωι· ἐπαι-*
15 *νέσαι || μὲν Δ]ράκοντα ἀρετῆς ἕ[νεκε καὶ εὐνοίας] ἣν ἔχων διατελεῖ π[ερὶ τὸν δῆμον τὸ]ν Σαμίων καὶ εἶναι αὐ[τὸν πρό|ξενον κ]αὶ εὐεργέτην τοῦ [δήμου, δε]δόσθαι δὲ] αὐτῶι*
20 *καὶ πολιτε[ίαν ἐφ' ἴσ||ηι καὶ ὁμ]οίαι καὶ ἐπικληρῶσαι α[ὐτὸν | ἐπὶ φυλὴ]ν καὶ χιλιαστὺν καὶ ἑκ[α|τοστὺν καὶ γέ]νος καὶ ἀναγράψαι κα[θότι καὶ τοὺς ἄλλο]υς Σαμίους· ταῦ[τα δὲ*
25 *εἶναι αὐτῶι καὶ ἐκγ]όνοις· εἶνα[ι || δὲ αὐτῶι καὶ ἔφοδον ἐπὶ τὴν βου]λὴν | [καὶ τὸν δῆμον ἄν του δέηται πρώ]τω[ι | μετὰ τὰ ἱερὰ καὶ τὰ βασιλικὰ κτλ].*

2 [*Εὐδέ*]*κτης* sive [*Εὐδέ*]*κτης* suppl. censet Cr. || 9 collato hoc versu IG XII$_5$, 198, 1 sq. suppleri possunt: [*Ἐπειδὴ Ἀθειμαντος Ἀνδροσθένους Δαμψακηνὸς διατρίβων*

παρὰ τῶι β]ασιλ|[εῖ Δημητρίωι - - -], cf. etiam IG II². 495, 11 sq. Zieb. || 10 e nomine regis apparet decretum, ut sequentia, post a. 306 lapidi inscriptum esse.

355. Pythocles et Hellanicus Pythodori filii Argivi a Samiis honorantur, fin. saec. IV. — Ibid Inv. n. 162. Stela marm. albi cum echino et abaco. Ed. M. Schede, *op. cit.* 8, n. K.

[Πυθοκλ]εῖ Ἑλλανίκωι Πυθοδώρου Ἀργείοις.|
Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι, | Διονύσιος Αἰσίμου εἶπεν·
5 ἐπειδὴ | [Π]υθοκλῆς καὶ Ἑλλάνικος Πυθοδώρου || [Ἀρ]γεῖοι
ἔν τε τῆι φυγῆι εὔνοι καὶ | [πρ]όθυμοι διετέλουν περὶ τὸν
δῆ|[μον] τὸν Σαμίων καὶ κοινῆι τῆι πόλε[ι | καὶ ἰ]δίαι τοῖς
ἐντυγχάνουσι τῶμ | [πολιτ]ῶν, [εἴ] του δέοιντο, χρείας παρε-||
10 [χόμενοι καὶ κατεληλυ]θότων ἡμῶν | [εἰς τὴν] π[όλιν τὴν
αὐτ]ὴν εὔνοιαν | [διαφυλ]άσσο[ντε]ς διατελοῦσιν, | [δεδόχ]θαι
τ[ῆι βουλῆι] καὶ τῶι δήμωι, | [ὅπως] ἂν ἅπα[ντες εἰδ]ῶσιν, ὅτι ||
15 [Σάμι]οι τοῖς εὐεργέταις χάριτας | [ἀξί]ας ἀποδιδοῦ[σι τ]ῶ[ν]
εὐεργετη|[μά]των, ἐπαιν[έσαι μὲν] Πυθοκλῆν κα[ὶ | Ἑλ]λά-
νικον [ἀρετῆς ἕνεκ]ε καὶ εὐ|[νοίας, ἣν ἔχοντες διατελ]οῦσι
20 πε[ρὶ || τὸν δῆμον τὸν Σαμίων, δ]εδόσθαι δὲ | [αὐτοῖς πολι-
τείαν ἐφ' ἴσηι] καὶ δμοίαι | [καὶ εἴσπλουν καὶ ἔκπλου]ν καὶ
ἐμ π|[ολέμωι καὶ ἐν εἰρήνηι] ἀσυλεὶ καὶ | [ἀσπο]νδεὶ [καὶ
25 ἔφοδον ἐπὶ] τὴμ βου[λ||ὴν] καὶ τ[ὸν δῆμον, ἄν του] δέωντα[ι,|
πρώ]τοις [μετὰ τὰ ἱερὰ καὶ τὰ βα]σιλικ[ά, | ἐπικ]ληρ[ῶσαι
δὲ αὐτοὺς ἐπ]ὶ φυλὴν | [καὶ χιλι]αστὺν [καὶ ἑκατοσ]τὺν καὶ
30 γέ|[νος] καὶ ἀναγ[ράψαι καθότ]ι καὶ τοὺς ἄλ||[λους] Σαμίο[υς·
ταῦτα δ'] εἶναι καὶ αὐτοῖ[ς καὶ ἐκ]γόν[οις· ἀναγρ]άψαι δὲ τόδε
τὸ ψή|[φ|ισμ]α εἰς στήλ[ην] λιθίνην καὶ στῆσα[ι | εἰς τὸ ἱερὸν]
τ[ῆς Ἥρας], τῆς δὲ ἐπικληρώ|[σεως] καὶ τῆς [ἀ]ν[αγρα]φῆς
35 ἐπιμεληθ||[ῆναι] τὸν γραμματέα τῆς βουλῆς. Ἔλα|[χον φυ]λὴν
Δημητριεῖς, χιλιαστὺν Ἐγ|[χεῖς ἐπὶ] τῶι [Ἀ]μφ[ιλύ]σω[ι], ἑκα-
τοστὺν [καὶ | γέ]νος . . . αρνικίδαι.

6/7 Ἐγ[χεῖς] suppl. Hiller, reliqua ed. || 39 an [Φιλ]αρνι(χ)ίδαι? Cr.

356. Horismus Damasistrati f. Elaïta a Samiis honoratur, fin. saec. IV. — Ibid. Inv. n. 172. Stela marm. albi. Ed. M. Schede, *op. cit.* 7, n. I.

[Ὁ]ρι[σμῶι Δαμασιστρ]άτ[ου Ἐ]λαΐτηι.|
Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι, | Μηλοῦχος Μύωνος εἶπεν·
5 ἐπειδὴ | Ὁρισμὸς Δαμασιστράτου Ἐλαΐτης || φευγόντων ἡμῶν
εὔνους καὶ πρόθυ|μος ὢν διετέλει καὶ πολλοῖς τῶν | πολιτῶν
παραγινομένοις καὶ κατε|ληλυθότων ἡμῶν εἰς τὴμ πόλιν δια|-
10 τρίβων παρὰ τῶι βασιλεῖ Δημητρίωι τοῖς || παραγινομένοις

πρὸς αὐτὸν τῶν πολι|τῶν χρήσιμον αὐτὸν παρέχεται πράσ|[σ]ων
τὰ συμφέροντα, δεδόχθαι τῆι βουλῆι | καὶ τῶι δήμωι· ἐπαι-
νέσαι Ὁρισμὸν Δαμα|σιστράτου ἀρετῆς ἕνεκεν καὶ εὐνοίας ἣν ||
15 ἔχων διατελεῖ περὶ τὸν δῆμον καὶ εἶναι αὐ|τὸν πρόξενον τῆς
πόλεως, δεδόσθαι δὲ | αὐτῶι καὶ πολιτείαν ἐφ' ἴσηι καὶ
δμοίαι καὶ ἐ|πικληρῶσαι αὐτὸν ἐπὶ φυλὴν καὶ χιλι|αστὺν καὶ
20 ἑκατοστὺν καὶ γένος καθό||τι καὶ τοὺς ἄλλους Σαμίους, εἶναι
δὲ αὐ|τῶι καὶ εἴσπλουν καὶ ἔκπλουν ἀσυλεὶ καὶ | ἀσπονδεὶ
καὶ ἐμ πολέμωι καὶ ἐν εἰρήνηι, | ταῦτα δ' εἶναι καὶ αὐτῶι
25 καὶ ἐγγόνοις. | Τὸ δὲ ψήφισμα τόδε ἀναγράψαι εἰς στή||λην
λιθίνην καὶ στῆσαι εἰς τὸ ἱερὸν τῆς | Ἥρας· τῆς δὲ ἐπικλη-
ρώσεως καὶ τῆς ἀνα|γραφῆς ἐπιμεληθῆναι τὸν γραμματέα τῆς
βουλῆς.

1 Ὁρισμός: cf. Ὅρος Lycaonis f. Apollod. III. 97, Κανών Bechtel, *Hist. Personenn.* 606. Cr. || 7 hiat lacuna, excidit *e. g.* post παραγ. χρείῃς παρεχόμενος, cf. n. 358 5. Cr.

357. Ibid. Inv. n. 100. Fragm. stelae marm. albi. Ed. M. Schede, *op. cit.*, 6, n. G.

- - - - - - - - - - - - - - ασ [- - - - - - - - - - - - - | στ]ρατευόμενος
[μετὰ τοῦ βασιλέως Ἀλε]|ξάνδρου πᾶσαν σπ[ουδὴν καὶ προθυ-
5 μίαν διε]|τέλει ποιούμενος [ὅπως Σάμιοι κομίσωνται] || τὴμ
πατρίδα, προ[.....] | τοὺς τοῦ βασιλέ[ως .....
διετέλει ὑπὲρ] | τοῦ δήμου πράσ[σων τὰ συμφέροντα, κατε-
ληλυθό]|των τε ἡμῶν εἰς [τὴμ πόλιν διατρίβων παρὰ] |
10 τοῖς βασιλεῦσιν Ἀ[ντιγόνωι καὶ Δημητρίωι] || εὔνουν καὶ
χρήσ[ιμον ἑαυτὸν παρέχεται εἰς] | πάσας τὰς χρεί[ας, δεδόχθαι
τῆι βουλῆι καὶ | τῶι] δήμωι· δ[εδόσθαι αὐτῶι πολιτείαν κτλ]

Tit. inter a. 306 et 301 scriptus. — 5/6 *e. g.* προ[χειρισθείς τε πρὸς] τοὺς τοῦ βασιλέ[ως στρατηγοὺς - -] vel πρό[τερον φευγόντων ἡμῶν πρὸς] Hiller. Fuit igitur is qui hoc decreto honoratur in numero Alexandri imperatorum vel amicorum.

358. Hipparchus Heniochi f. a Samiis honoratur, saec. III. — Ibid. Inv. n. 189. Stela marm. supra fracta, alt. 0, 83, lat. 0, 41—45, crass. 0, 07—09, reperta prope templum. Ect. Berolini. Descr. et suppl. M. Schede, qui nobiscum communicavit. Litt. saec. III.

[Ἐπειδὴ - - -] | .....(c. 16) \ I. P Λ I / διατρίβων [παρὰ τῶι βασιλεῖ
Ἀντι|γόνωι τὴν αὐτ]ὴν εὔνοιαν διαφυλάσσει τῶι δήμωι, ν[ῦν δὲ
στρα|τηγῶν] ἐγ Καρίαι φιλοτιμίας οὐθὲν ἐλλείπει καὶ κοινῆι τὸν |
[δῆμο]ν εὐεργετῶν καὶ τοῖς ἀφικνουμένοις τῶμ πολιτῶν ἰδίαι |
5 χρείας παρεχόμενος καὶ τῶν στρατευομένων παρ' αὐτῶι πολ|λὴν
πρόνοιαν ποεῖται καὶ χρείαν παρέχεται ὧν ἂν ἕκαστοι τυγχ[ά||-
νωσι δεόμενοι, διαφυλάσσωμ μὲν τὴν εὔνοιαν, ἐνδεικνύμε|νος δὲ
τὴν αὐτοῦ πρὸς τὸν δῆμον προθυμίαν· δεδόχθαι τῆι [βου]λῆι

καὶ τῶι δήμωι· ἐπῃνῆσθαι μὲν Ἵππαρχον Ἡνιόχου προθυμ[ίας] ||
10 ἕνεκε καὶ εὐνοίας ἧς ἔχων διατελεῖ περὶ τὸν δῆμον τὸν Σ[αμί]|ων
καὶ εἶναι αὐτὸν πρόξενον τοῦ δήμου, δεδόσθαι δὲ αὐτ[ῶι] | πολι-
τείαν ἐφ' ἴσηι καὶ ὁμοίαι καὶ αὐτῶι καὶ ἐγγόνοις καὶ ἐπι-
κλ[ηρῶ]||σαι αὐτὸν ἐπὶ φυλὴν καὶ χιλιαστὺν καὶ ἑκατοστὺν καὶ
γένο[ς] | καὶ ἀναγράψαι καθότι καὶ τοὺς ἄλλους Σαμίους, ὑπάρ-
15 χειν δ[ὲ αὐ]||τῶι καὶ ἔφοδον ἐπὶ βουλὴν καὶ δῆμον ἄν του δέηται
πρώτωι μ[ετὰ] | τὰ ἱερὰ καὶ τὰ βασιλικὰ καὶ εἴσπλουν καὶ
ἔκπλουν ἀσυλεὶ καὶ ἀσ[πον]||δεὶ καὶ ἐμ πολέμωι καὶ ἐν εἰρήνηι,
ἀναγράψαι δὲ τόδε τὸ ψήφισ[μα] | εἰς στήλην λιθίνην καὶ
στῆσαι εἰς τὸ ἱερὸν τῆς Ἥρας, ὅπως ἅ[παν]|τες εἰδῶσιν οἱ
20 προαιρούμενοι τὴμ πόλιν εὐεργετεῖν ὅτι χάριτα[ς] || ὁ δῆμος
ἐπίσταται τοῖς εὖ ποιήσασιν αὐτὸν ἀποδιδόναι· τῆς δὲ | ἐπικλη-
ρώσεως καὶ τῆς ἀναγραφῆς ἐπιμεληθῆναι τὸγ γρα[μμα]|τέα
τῆς βουλῆς. *vacat.*

1/2 suppl. Zieb. || 2/3 suppl. Hiller. || 5 fuit igitur Hipparchus dux quidam atque amicus regis vel regum, qui in Caria bellum gessit.

359. Apollodorus, Strato, Theocles, Hermogenis filii, Ceramii a Samiis honorantur, saec. III. — Ibid. Inv. n. 212. Stela marm. cum aetomate, alt. 0,09, lat. 0,24, crass. 0,77. Litt. bonae aetatis Antigonidarum. Ect. Berolini. Descr. et suppl. M. Schede, qui nobiscum communicavit.

[Ἔδοξε τῆι βουλῆι καὶ τ]ῶι δήμωι, Λύσανδρος | [τοῦ δεῖνος εἶπεν· ὑπὲρ] ὧν προεγράψατο Σῖμος | [τοῦ δεῖνος ὅπως Ἀπολ]-
λοδώρωι καὶ Στράτωνι | [καὶ Θεοκλεῖ Ἑρμογένους] Κεραμίοις
5 πολιτε[ία || . . . . . ᵒ·¹² . . . . . δοθῆι κατὰ] τὸν νόμον· ἐπειδὴ |
[Ἀπολλόδωρος καὶ Στράτω]ν καὶ Θεοκλῆς Ἑρμο[γένους ἔν τε
τοῖς πρότερο]ν χρόνοις πᾶσαν | [σπουδὴν καὶ προθυμίαν διε-
τέλουν ποιού|μενοι κτλ.]

4 De ethnicis Κεράμιοι et Κεραμιῆται cf. *J.H.S.* XI, 113.

360. Calleae f. Arcas a Samiis honoratur, saec. III. — Ibid. Inv. n. 246. Stela marm. albi. Ed. M. Schede, *Ath. Mitt.* XLIV 12, n. O.

. . . . . ωι Καλλέο[υ Ἀρκάδι]. |
Ἔδοξε τῆι βουλῆι [καὶ τῶι δήμωι· ὁ δεῖνα] | Ἡγησίων[ο]ς
εἶ[πεν· ἐπειδὴ . . . . . ος Καλλέου] | Ἀρκὰς ἔν τε τῆ[ι φυγῆι
5 πολλὴν εὔνοιαν καὶ] || προθυμίαν π[αρείχετο περὶ τὸν δῆμον
καὶ] | κατεληλ[υθότων ἡμῶν εἰς τὴν πόλιν | δια]τρί[βων παρὰ
βασιλεῖ vel βασιλεῦσι - - -]

361. Gyges Menesthei f. Toronaeus a Samiis honoratur, fin. saec. IV. — Ibid. Inv. n. 143. Stela marm. Ed. M. Schede, *op. cit.* 15, n. 6.

Γύγεω τοῦ Μενεσθέως | Τορωναίου. |
5 Ἔδοξε τῶι δήμωι, Διονύσιος | Λεοντίσκου εἶπεν· ἐπειδὴ | [ε]ἰσα-
γαγὼν ἔχει Γύγης | Μενεσθέως Τορωναῖος | πυρῶν μεδίμνους
τρισχιλί|ους κατὰ τὸν νόμον, δεδό|χθαι τῶι δήμωι· ἐπαινέ-
10 σαι || τε αὐτὸν καὶ δεδόσθαι αὐτῶι | πολιτείαν ἐφ' ἴσηι καὶ
ὁμοίηι | καὶ αὐτῶι καὶ ἐκγόνοις καὶ ἐπ[ι]|κληρῶσαι αὐτὸν ἐπὶ
15 φυλὴν | καὶ χιλιαστὺν καὶ ἑκατο||στὺν καὶ γένος καθότι καὶ |
[το]ὺς ἄλλους πολίτας. | [Τὸ δὲ ψήφ]ισμα τό[δ]ε ἀναγρά[ψαι
εἰς στήλην λιθίνην] καὶ - - - -

Litterae secundum ectypum similes decreti in honorem Gorgi Iasensis facti post a. 321, *Syll.*² 312. — 8 lex frumentaria fuisse videtur. Zieb.

362. Polus Sosigenis f. Aegineta actor a Samiis honoratur, c. a. 306. — Ibid. Inv. n. 190. Stela marm.; supra tit. caput Herculis (vel Thesei) sine barba. Ed. addita imagine phot. M. Schede, *op. cit.* 16, n. 7.

Πώλωι Σωσιγένους Αἰγινήτηι. |
Ἔδοξε τῆι βουλῆι καὶ τῶι δήμωι, Δημά|ρετος Δημέου εἶπεν·
5 ἐπειδὴ Πῶλος | Σωσιγένους Αἰγινήτης ἔν τε τοῖς πρότε||ρον χρό-
νοις εὔνους καὶ πρόθυμος ὢν διε|τέλει περὶ τὴμ πόλιν καὶ νῦν
τοῦ δήμου ψη|φισαμένου ἄγειν ἡμᾶς ἐπὶ τοῖς εὐαγγελίοις | Ἀντι-
γόνεια καὶ Δημητρίεια καὶ τῶμ πρεσβευ|τῶμ παραγενομένωμ
10 πρὸς αὐτὸν μισθῶν τε || ἐλασσόνων συνεχώρησεν ὑποκρινεῖσθαι
τῶι | δήμωι καὶ τὰ μὲν ἐκ τοῦ θεάτρου γενόμενα | ἐκομίσατο, τὸ
δὲ λοιπὸν ἐπέσχηκε τῆι πόλει, καθότι ὁ δῆμος ἠξίωσεν αὐτόν,
δεδόχθαι τῆ|[ι] βουλῆι καὶ τῶι δήμωι· ἐπηινῆσθαι μὲν Πῶ-
15 λον || ἀρετῆς ἕνεκε καὶ προθυμίας, ἣμ παρέσχηται τῶι δήμωι
καὶ εἶναι αὐτῶι τῆς αὐτῆς ἐπιμελείας τυγχάνειμ παρὰ τοῦ
δήμου· δεδόσθαι δὲ αὐτῶι | καὶ πολιτείαν ἐφ' ἴσηι καὶ ὁμοίαι
καὶ ἐπικληρῶσα|ι αὐτὸν ἐπὶ φυλὴν καὶ χιλιαστὺν καὶ ἑκατοσ-
20 τὺ|ν καὶ γένος καὶ ἀναγράψαι καθότι καὶ τοὺς ἄλλου|ς Σαμίους·
εἶναι δὲ αὐτὸν καὶ πρόξενον τοῦ | δήμου, εἶναι δὲ αὐτῶι καὶ
εἴσπλουν καὶ ἔκπλου[ν] καὶ ἐμ πολέμωι καὶ ἐν εἰρήνηι ἀσυλεὶ
καὶ ἀσπον|δεί, ὑπάρχειν δὲ αὐτῶι καὶ ἔφοδον ἐπὶ τὴν βουλὴν ||
25 [κα]ὶ τὸν δῆμον ἄν του δέηται πρώτωι μετὰ τὰ ἱερὰ κα|ὶ [τ]ὰ
βασιλικά, δεδόσθαι δὲ αὐτῶι καὶ προεδρίαν ἐν τ|οῖς ἀγῶσιν
οἷς ἂν ἡ πόλις ἄγηι πᾶσιν, εἶναι δὲ ταῦτα | καὶ αὐτῶι καὶ
ἐκγόνοις· στεφανῶσαι δὲ Πῶλον θαλλ|οῦ στεφάνωι Διονυσίων
30 τραγωιδοῖς, τῆς δὲ ἀναγ||γελίας ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην
μετὰ τ|οῦ δημιουργοῦ. Τὸ δὲ ψήφισμα τόδε ἀναγράψαι εἰς
στήλην λιθίνην καὶ στῆσαι εἰς τὸ ἱερὸν τῆς Ἥρ|ας, τῆς δὲ
ἐπικληρώσεως καὶ τῆς ἀναγραφῆς ἐπιμεληθῆναι τὸν γραμ-

35 ματέα τῆς βουλῆς. ‖Ἔλαχε φυλὴν Χησιεῖς, χιλιαστὺς Οἴνωπες,| γένος καὶ ἑκατοστὺς Ἐλανδρίδαι.

De Polo actore cf. *P.A.* 12526, ubi Kirchner recte duos actores eiusdem nominis discernit, cf. Schede ad tit. — 7 εὐαγγέλια ed. recte rettulit ad victoriam navalem a Demetrio ad Salaminem Cypriam a. 306 reportatam. ‖ 11 τὰ ἐκ τοῦ θεάτρου γενόμενα, cf. IG XII$_9$. 207, 56 sq.: τὸ δὲ ἀνάλωμα τὸ εἰς τὴν στήλην ὑποθεῖναι ἑκάστους παρ' ἑαυτοὺς τῷ θεάτρῳ ὅταν ποιῆ[σωσι τὴν | ἔγδοσ]ιν κατὰ τὰ ἐπιόντα Διονύσια: cum in Euboeae urbibus tum Sami theatrum ad singulas ferias locabatur atque certam pecuniam ferebat, cf. Preuner apud Schedium ad tit. ‖ 12 ἐπίσχηκε „porrexit, praebuit", cf. κοτύλην τις τυτθὸν ἐπέσχε X 494. Cr. ‖ 16 τῆς αὐτῆς ἐπιμελείας, sc. ut reliqui Samii, cf. *Syll.*^{3} 333, 18 ubi adduntur verba: ἐπιμελεῖσθαι δ' αὐτοῦ καὶ τὰς συναρχίας. ‖ 30 duos demiurgos eponymos Samiorum exhibent tit. *Syll.*^{2} 666, *Michel* 368.

363. Iudices Myndii a Samiis honorantur, saec. III. — Ibid. Inv. n. 146. Stela marm. caerulei cum cymatio. Ed. M. Schede, *op. cit.* **21, n. 9.**

Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι, πρυτάνεων | γνώμη· ὑπὲρ ὧν ἡ βουλὴ προεβούλευσεν, ὅπως οἱ | παραγενόμενοι δικασταὶ ἐπὶ τὰ μετέωρα συμβόλαια | ἔκ τε Μιλήτου καὶ Μύνδου καὶ
5 Ἁλικαρνασσοῦ τιμηθῶσιν· ‖ ἐπειδὴ διαφερομένων τῶμ πολιτῶν τὰ πρὸς ἀλλήλους | ὑπὲρ τῶν μετεώρων συμβολαίων βουλόμενος ἐν | ὁμονοίαι τὴμ πόλιν εἶναι Φιλοκλῆς βασιλεὺς Σιδονίων | ἔγραψεν, ὅπως ὁ δῆμος ὁ Μυνδίων ἀποστείληι δικασ|τήριον
10 τὸ διαλῦσον τὰ μετέωρα συμβόλαια, Μύνδιοι δὲ ‖ πᾶσαν εὔνοιαν καὶ προθυμίαν παρεχόμενοι εἰς τὸ | διαλυθῆναι τοὺς πολίτας ἀπέδειξαν ἄνδρας καλοὺς | κἀγαθοὺς καὶ ἀπέστειλαν εἰς τὴν πόλιν Θεοκλῆν | Θεογένους, Ἡρόφαντον Ἀρτεμιδώρου, οὗτοι δὲ τὰς | εἰσαχθείσας εἰς αὐτοὺς δίκας καλῶς καὶ δικαίως ‖
15 τὰς μὲν ἐδίκασαν, τὰς δὲ διέλυσαν, προαιρούμενοι | τοὺς διαφερομένους τῶμ πολιτῶν διαλυθέντας | ἐν ὁμονοίαι πολιτεύεσθαι ἀπαλλαγέντας τῶν πρὸς | ἀλλήλους ἐγκλημάτων, δεδόχθαι τῆι βουλῆι καὶ τῶι | δήμωι· ἐπηινῆσθαι μὲν τὸν δῆμον τὸμ
20 Μυνδίων ‖ ἐπὶ τῆι τῶν ἀνδρῶν ἀποστολῆι, ἐπηινῆσθαι δὲ καὶ | τοὺς ἄνδρας τοὺς παραγενομένους Θεοκλῆν Θεογέ[νους], | Ἡρόφαντον Ἀρτεμιδώρου, ὅτι καλῶς καὶ συμφερόντως | τὰς μὲν διέλυσαν τῶν δικῶν, τὰς δὲ ἐδίκασαν, καὶ στε|φανῶσαι αὐτοὺς
25 χρυσῶι στεφάνωι καὶ ἀναγγεῖλαι ‖ τὸν στέφανον Διονυσίων τραγωιδοῖς· εἶναι δὲ αὐτοὺς | καὶ προξένους τῆς πόλεως καὶ εὐεργέτας, δεδόσθαι δὲ | αὐτοῖς καὶ πολιτείαν ἐφ' ἴσηι καὶ ὁμοίαι καὶ ἐπικληρῶσαι | αὐτοὺς ἐπί τε φυλὴν καὶ χιλιαστὺν καὶ ἑκατοστὺν | καὶ γένος καθότι καὶ τοὺς ἄλλους Σαμίους,
30 ὑπάρχ[ειν] ‖ δὲ αὐτοῖς καὶ προεδρίαν ἐν τοῖς ἀγῶσιν οἷς ἂν | ἡ πόλις ποιῆι, δεδόσθαι δὲ αὐτοῖς καὶ ἔφοδον ἐπὶ τὴν | βουλὴν καὶ τὸν δῆμον πρώτοις μετὰ τὰ ἱερὰ καὶ τὰ | βασιλικά, εἶναι

Pouilloux Choix 21

δὲ αὐτοῖς καὶ εἴσπλουν καὶ ἔκπλουν [ἐμ] | πολέμωι καὶ ἐν
35 εἰρήνηι ἀσυλεὶ καὶ ἀσπονδεί, ἐπι‖μελεῖσθαι δὲ αὐτῶν καὶ τὰς ἀρχὰς τὰς ἀεὶ καθισταμένας, | ἄν του δέωνται· ὅπως δὲ τὰ ἐψηφισμένα εἰδῆι | ὁ δῆμος ὁ Μυνδίων, ἑλέσθαι πρεσβευτὴν ὅστις | ἀφικόμενος εἰς τὴν Μύνδον ἀποδώσει τῆι βουλῆι [καὶ]| τῶι δήμωι τὸ ψήφισμα. — Ἀναγράψαι δὲ καὶ εἰς στήλην ‖
40 λιθίνην καὶ ἀναθεῖναι εἰς τὸ ἱερὸν τῆς Ἥρας, τῆς δὲ | ἀναγραφῆς ἐπιμεληθῆναι τὸν γραμματέα τῆς | βουλῆς, τὸν δὲ ταμίαν εἰς τὸ ἀνάλωμα τῆς στή|λης καὶ τῆς· ἀναγραφῆς ὑπηρετεῖν. Ἐφόδιον δὲ | ὑπάρχειν τῶι πρεσβευτῆι, ὃ ἂν ὁ
45 δῆμος τάξηι. ‖ Πρεσβευτὴς ἡιρέθη Αἰσχύλος Ἀμπελίδου.

3 cum in probuleumate senatus de iudicibus Milesiis, Myndiis, Halicarnassensibus ageretur, hoc decreto soli Myndii laudantur; Milesii et Halicarnassenses duobus similibus decretis laudati esse videntur. ‖ 7 Philocles p. a. 281 praefectus classis Aegyptiae, Cariae et insulis imperitabat, cf. IG XII$_5$. 1065. ‖ 43 ὑφόδιον ed., vit. typoth.?

364. Pelops Alexandri f. Macedo a Samiis honoratur, p. a. 281. — Ibid. Inv. n. 242. Stela marm. albi. Ed. M. Schede, *op. cit.* **24, n. 11.**

Ἔδοξεν [τῆι βο]υλῆι καὶ τῶι δήμωι, γνώμη πρυτάνεων· ἐπε[ιδ]ὴ Πέλοψ Ἀλεξάνδ[ρ]ου Μακεδὼν | φίλος ὢν τοῦ βασιλέως Πτολ[εμ]αίου τεταγμένο[ς] | ἐπὶ δυνάμεω[ς] πρότερόν τε
5 πολλὰς χρείας παρέσ‖χηται τῶι δήμω[ι] τῶι Σαμίων κα[ὶ] τοῖς ἐντυγχά|νουσι Σαμ[ί]ων ἰδίαι καὶ νῦ[ν] χ[ρ]ήσιμον αὐτὸν παρ[ε]χόμενος τῶι δήμω[ι] τῶι Σαμίων διατελεῖ εὐεργετεῖν προαιρούμε[ν]ος τὸν δῆμον, δεδ[ό]χθαι τῆι βουλ[ῆι] | καὶ τῶι
10 δήμωι· ἐπηινῆσθ[α]ι μὲ[ν] Πέλοπα, διότι ἐμ ‖ παντὶ καιρῶι χρείαν [πα]ρέχεται τῶι δήμωι τῶι Σαμίω[ν], | δεδόσθαι δὲ αὐτῶι καὶ πολιτείαν ἐφ' ἴσηι καὶ ὁμοίαι | καὶ προεδρίαν ἐν τῶι θεάτρωι καὶ ἐπικληρῶσαι αὐτ[ὸν] | τὸν γραμματέα τῆς βουλῆς ἐπί τε φυλὴν καὶ χιλι[ασ]τὺν καὶ ἑκατοστὺν καὶ γένος
15 καὶ ἀναγράψα[ι καθ‖ότι καὶ τοὺς ἄλλους Σαμίους].

De amicis regis cf. Strack, *Rhein. Mus.* LV, 161 sq., Beloch, *Griech. Gesch.* III^1, 389. ‖ 3 Ptolemaei, sc. Philadelphi, secundum litteras. Schede. — De Pelopis huius filio Pelope, legato regis Ptolemaei Philopatoris, cf. A. Wilhelm, *Anz. Ak. Wien* 1920, XVII—XXVII, 15.

365. Ibid. Inv. n. 202. Stela marm. albi cum echino, aetomate, acroteriis. Ed. M. Schede, *op. cit.* 24, n. 12.

Ἔδοξεν τῶι δήμωι, γνώμη π[ρυτάνεων, ὑπὲρ ὧν ἡ] | βουλὴ προεβούλευσεν· ἐπειδὴ [ὁ δεῖνα - - - - | .] ου καὶ Ἀπολλόδωρος Διον[υσίου - - - φίλ|οι] ὄντες τοῦ βασιλέως Πτολε[μαίου] ἔν

τε [τοῖς πρότ||ε]ρον χρό[νοις - - - - - - - - -] | . νουμ - | καὶ - | τῶι - | αὐ - εν - - -

4 Ptolemaeus, sc. Philadelphus. ed. || 5 sq. litt. prorsus detritae.

366. Bulagoras Alexis f. a Samiis honoratur, c. a. 246/3. — Ibid. Inv. n. 174. Stela marm. Ed. M. Schede, *op. cit.* 25, n. 13.

Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι, γνώμη πρυτάνεων· ὑπὲρ [ὧν] | προεγράψατο Ἱπποδάμας Παντωνακτίδου, ὅπως Βουλαγόρας Ἀλέξε[ω] | πολλὰς χρείας παρεισχημένος κοινῆι τε τῶι δήμωι καὶ ἰδίαι πλείοσι | τῶν πολιτῶν ἐπαινεθῆι καὶ στεφανωθῆι καθότι ἂν τῆι βουλῆι καὶ τῶι || δήμωι δόξηι· ἐπειδὴ Βουλαγόρας ἔν τε τοῖς πρότερον χρόνοις γενομέ|ν(ω)ν α[ἰ](τ)ησίμ(ω)ν κτημάτων ἐν τῆι Ἀναϊτιδι χώραι τῆι τασσομένηι τότε | ὑπ' Ἀντίοχον τὸν βασιλέα καὶ τῶν ἀφαιρεθέντων πολιτῶν τὰ κτήματα | καταφυγόντων ἐπὶ τὸν δῆμον καὶ πρεσβείαν αἰτησαμένων πρὸς Ἀντί|οχον, ὅπως κομίσωνται τὰ αὑτῶν, ἀποδειχθεὶς πρεσβευτὴς καὶ ἀπο||δημήσας τὴν μὲν ἀρχὴν εἰς Ἔφεσον, ἀναζεύξαντος δὲ Ἀντιόχου | συνακολουθήσας ἕως Σάρδεων τὴμ πᾶσαν ἐποιήσατο σπουδὴν καὶ | φιλοτιμίαν ἀντικαταστὰς ἐν τῆι πρεσβείαι τοῖς ἐνδοξοτάτοις τῶν Ἀν[τι]||όχου φίλων οἳ ἐτύγχανον ἔχοντες τὰ αἰτήσι(μ)α, ὅπως ἀνακομισάμ[ε]||νος ὁ δῆμος τὰς κτήσεις τὰς αἰτηθείσας ἐν ἐκείνωι τῶι χρόνωι ἀποκα||ταστήσηι τοῖς ἀδίκως ἀφαιρεθεῖσι, καὶ περὶ τούτων ἐκόμισεν ἐπιστολὰς | [π]αρ' Ἀντιόχου πρός τε τὴν πόλιν ἡμῶν καὶ πρὸς τὸν ἐν Ἀναίοις ὑπ' αὐτο|[ῦ] τεταγμένον φρούραρχον καὶ πρὸς τὸν διοικητήν, δι' ὧν οἵ τε τότε ἀφαι|[ρ]εθέντες ἐγκρατεῖς ἐγένοντο τῶν ἰδίων καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον | οὐθεὶς ἐνεχείρησεν οὐκέτι τῶν παρ' Ἀντιόχωι τασσομένων αἰτεῖσθαι τὰ || τῶν πολιτῶν ὑπάρχοντα· προχειρισθείς τε πλεονάκις ὑπὸ τοῦ δήμου προή|[γ]ορος ταῖς δημοσίαις δίκαις ἐκτενῆ καὶ πρόθυμον ἑαυτὸν παρεχόμενο[ς] | διετέλεσεν, καὶ πολλὰ τῶν χρησίμων καὶ συμφερόντων περιεποίησεν | ἐκ τῶν κρίσεων τῆι πόλει· τοῦ τε γυμνασίου χειροτονηθεὶς κατὰ τὸν νόμον | ἐπιστάτης ὑπὸ τοῦ δήμου διὰ τὸ ἐγλιπεῖν τὸν γυμνασιαρχοῦντα ἴσως κ[αὶ] || καλῶς προέστη τῆς τῶν ἐφήβων καὶ τῶν νέων εὐκοσμίας· ἔν τε τῶι ἐνεστη|κότι ἐνιαυτῶι καθηκούσης τῆς τῶν θεωρῶν ἀποστολῆς εἰς Ἀλεξάνδρειαν | εἰδὼς ὅτι ὁ δῆμος περὶ πλείστου ποεῖται τὰς τοῦ βασιλέως Πτολεμαίου τι|μὰς καὶ τῆς ἀδελφῆς αὐτοῦ βασιλίσσης Βερενίκης, ἐπειδὴ εἰς μὲν τοὺς | στεφάνους αὐτῶν καὶ τὰς θυσίας, ἃς ἔδει συντελέσαι τοὺς θεωροὺς ἐν Ἀλε||ξανδρείαι, περιορισμένα ὑπῆρχεν χρήματα, εἰς δὲ τὰ ἐφόδια τῶι ἀρχιθεωρῶι καὶ | τοῖς θεωροῖς, ὑφ' ὧν ἔδει τοὺς στεφάνους ἀποκομισθῆναι καὶ συντελεσθῆναι | τὰς θυσίας οὐχ ὑπῆρχεν οὐδ' ἦν, ὅθεν ἐπὶ τοῦ παρόντος πορισθήσεται, βουλόμενος μηθὲν ὑπολ(ει)φθῆναι τῶν προεψηφισμένων τιμίων τῶι βασιλεῖ καὶ | τῆι βασιλίσσηι καὶ τοῖς γονεῦσιν καὶ προγόνοις αὐτῶν ὑπέσχετο τὸ εἰς ταῦτα || ἀργύριον αὐτὸς προχρήσειν ἐκ τοῦ ἰδίου οὐ πολλῶι ἔλασσον ὂν δραχμῶν ἑξ[α]||κισχιλίων· κατασχούσης τε τὸν δῆμον σιτοδείας καὶ τῶν πολιτῶν διὰ τὸ | ἀναγκαῖον τῆς χρείας τρεῖς προχειρισαμένων σιτωνίας ἐν πάσαις αὐταῖς | οὐθὲν ἐνέλιπεν σπουδῆς καὶ φιλοτιμίας, ἀλλὰ τῆς μὲν πρώτης σιτωνίας πᾶ[ν] | τὸ εἰς τὴν ὑποθήκην ἀργύριον προέχρησεν, καθότι ὁ δῆμος ἐψηφίσατο, εἰς δὲ || τὴν δευτέραν ἴσον ἐπηγγείλατο τοῖς τὸ πλεῖστον εἰσευπορήσασι· τῆς δὲ | τρίτης οὐ μόνον τὰ εἰς τὴν ὑποθήκην χρήματα εἰσήνεγκεν πάντα ἐκ το[ῦ] | ἰδίου, ἀλλὰ καὶ καταχθέντος τοῦ σίτου εἰς τὴν πόλιν καὶ τοῦ σιτώνου δάνειο[ν] | ἔχοντος ἐπ' αὐτῶι παρελθὼν εἰς τὴν ἐκκλησίαν ἐπηγγείλατο, ἐπεὶ οὐκ ἦν, ὅθεν ἀποδοθήσεται τὰ χρήματα, αὐτὸς καὶ τὸ δάνειον ὑπὲρ τῆς πόλεως καὶ τοὺς τό||κους καὶ τὰ λοιπὰ ἀναλώματα πάντα ἐπιλύσειν, καὶ τοῦτο ἔπραξεν κατὰ τά|χος καὶ ἀπέλυσεν τὸν δανειστὴν οὔτε συγγραφὴν οὐδεμίαν θέμενος πρὸς τὴν | πόλιν ὑπὲρ τούτων τῶν χρημάτων οὔτε προεγγύους ἀξιώσας ἑαυτῶι καταστ[α]θῆναι, ἀλλὰ περὶ πλείστου ποιησάμενος τὸ κοινῆι συμφέρον καὶ ἵνα ὁ δῆμος | ἐν εὐβοσίαι διαγένηται· ἔν τε τοῖς λοιποῖς διατελεῖ πρόθυμον καὶ εὔνουν ἑα[υ]||τὸν παρεχόμενος καὶ [κο]ινῆι τῶι δήμωι καὶ ἰδίαι ἑκάστωι τῶν πολιτῶν [συμβου]λεύων τὰ ἄριστα καὶ διαλύων τοὺς διαφερομένους καὶ πολλοῖς τῶ[ν πο]νούντων ἐρανίζων ἐκ τῶν ἰδίων· ὅπως οὖν καὶ ἡμεῖς φαινώμεθα τιμῶντ[ες] τοὺς ἀγαθοὺς ἄνδρας καὶ πολλοὺς τῶν πολιτῶν ἐπὶ τὴν ὁμοίαν προ[καλούμε]|νοι προαίρεσιν, δεδόχθαι τῶι δήμωι· ἐπῃνῆσθαι Βουλα[γ]όραν Ἀλέξεω ἀρ[ετῆς] || ἕνεκεν καὶ εὐνοίας τῆς εἰς τοὺς πολίτας καὶ στεφανῶσαι αὐτὸν χρυσῶι [στεφά]νωι Διονυσίων τραγωιδοῖς, τῆς δὲ ἀναγγελίας ἐπιμεληθῆναι τὸν ἀγωνο[θέτην.] | Ἀναγράψαι δὲ καὶ τὸ ψήφισμα τόδε τοὺς ἐξεταστὰς εἰς στήλην λιθίνην κ[αὶ ἀνα]|θεῖναι εἰς τὸ ἱερὸν τῆς Ἥρας· εἰς δὲ τὸ ἀνάλωμα τὸν ταμίαν τῶν ὁσίων ὑ[πηρετῆ]σαι ἀπὸ τοῦ ὑπ[άρ]χοντος ἀργυρίου παρ' αὐτῶι ἀπὸ τῶν προστίμων.

Πα[.....] || Ὑβλήσιος Ἡρόδοτος Μόνιμος Δημήτριος.

2 προεγράψατο: eadem formula redit in decreto Samio *Inschr. v. Magn.* 103, 23 sq., ubi supplendum videtur: ὑπὲρ ὧν [οἱ πρυτάνεις τῆς βουλῆς προβουλευ]σάσης προεγράψαντ[ο ἐπαινέσαι - - -]; de προγραφή i. e. „Tagesordnung" cf. A. Wilhelm,

uilloux, Choix 3

Beitr. p. 179. || 6 in lap. *ΓΕΝΟΜΕΝΟΝ Α..ΞΗΣΙΜΟΝ*: prop. Hiller α[ὐ]ξησίμ(ω)ν, corr. Zieb. coll. vs. 13 (τὰ αἰτήσιμα). Iter Bulagorae Ephesum et Sardes ante a. 246 factum esse recte monuit Schede. || 13 in lap. *ΑΙΤΗΣΙΝΑ*: corr. Schede. || 17/18 αὐτὸ||ν] Sched., corr. Hond. || 20/49 de singulis Bulagorae meritis aget Ziebarth „Zum Samischen Finanzwesen", *Zeitschr. für Numismatik* XXXIV (1924). || 20 προή[γ]ορος τ. δημ. δικ. cf. προαγορῶν Agrigenti IG XIV. 952 (Schwyzer, *Dial. Graec. ex. epigr. potiora*, 307) et Catanae: proagorus summus magistratus (Cic. Verr. II, 4, 23). || 23 κατὰ τὸν νόμον sc. τὸν γυμνασιαρχικόν. || 25 ἐν τε τ. ἐν. ἰνιαυτῶι sc. anno quo certamina penteterica Alexandriae acta redibant (condita illa quidem a. 279/8), *i. e.* a. 247/6 vel potius 243/2, cf. Sched. ad tit. || 33 ὑπολ[ο]φθῆναι ed., vit. typoth.? || 37 τρεῖς προχ. σιτ. cf. *Syll.*[3] 976, 30: ἐὰν δὲ δόξῃι σιτωνεῖν et Ziebarth, *l. a.* || 59 προστ: cf. multarum catalogum conscriptum a curatoribus Aesculapii Nesi in insula IG XII$_2$. 646; πα[ρῆσαν] vel πά[ρεδροι] suppl. Hiller, at cf. e titulo Samio honorario c. a. 320 insculpto (*Syll.*[3] 312, 33): τῆς δὲ ἀναγραφῆς ἐπιμε[λ]ηθῆναι τοὺς πέντε τοὺς ἱερημένους. (Cr.).

---

367. Decretum Samium de templo collatis stipibus exornando, adiecto catalogo τῶν ἐπιδόντων. **init. saec. II.** — Ibid, Titulos editos ab E. J. Kritikide, *Pandora* VII (1857), 166, n. 525 repetivit id. in libro *Ἀρχαῖοι ναοὶ τῆς Σάμου*, Hermupolis 1867 nec non Stamatiadis, *Σαμιακά* 1862 (ed. alt. 1881), praeter unum titulum, editum primum a Stamatiade in ephemeride *Χρυσαλλίς* IV (1866), 79, n. 213 (repetitum a Kritikide *op. cit.* p. 29), quem postea exscripsit Carolus Curtius Lubecensis; ex eius apographo ed. E. Preuner, *Ath. Mitt.* XLVI, 14 sqq. Titulus inscriptus in quattuor lateribus lapidis quadrati, inventi ad templum Herae. Litt. non apicatae init. saec. II.

A (margo superior)

[Ἔ]δοξε τῷ δήμῳ, γνώμη πρυτάνεων· ὑπὲρ ὧν ἔ[δοξε | τ]ὸν δῆμον βουλεύσασθαι ἐν ἀρχαιρεσίαις καὶ Τε[λέ|σ]αρχος ἐπελθὼν [διελέγη περὶ] τῆς ἐπισκευ[ῆς τοῦ | με]γ[ά]λου ναοῦ,
5 [ὅπως ἐκτελεσ]θῆι χρημάτω[ν εἰσε||νεχ]θέντων (ἐ)[ξ ἐπαγγελίας, δεδόχθαι] τῶι δήμωι· | --- ^ΕΥΤΕ ----------
--- ΙΝΠΑΙ/Δ.ΑΛ-- | ---ΛΟΣ ----------
----- ΝΑ ... ΑΙΟΣ---- | --- ΝΤΩ [----------
-------- ε]ίσε[ν]έχθη [----- | τά]λαντα? ----------
10 ---------- ΣΙΝΑ^ν -------||--- ΝΤ.ΤΕ¯ ------
---------- ΑΙΤΩΙΛΙϽΛ --- | .. ν ἐπιδοῦναι [εἰς τὴν ἐπισκευὴν] τοῦ να[ο]ῦ χρή||[μ]ατα διδόντες ἐ[ν.....τ]ὸ ἴσον ἔτεσιν· πρὸς δὲ τὸ | [ἀν]αγράψαι τό τε ψήφισμα καὶ τὰ ὀνόματα τῶν ἐ[πι|δόν]των π[α]τρόθεν καὶ ὅσον ἕκαστος εἰσ-
15 ενήν[ο||χε]ν ἐξῆς, κ[α]θότι ἕκα[σ]τος [ἐ]πηγγ[εί]λ[ατο -----]

Quo tempore templum Herae restauratum sit Preuner enucleare conatus est coll. lege Samia de frumento coemendo *Syll.*[3] 976 (saec. II ineuntis). Qui enim ibi col. B 55 nominatur Βοίσκος Πυθολέω aut pater aut nepos est Pytholei Boisci f. in nostro fragm. *B*, vs. 5. — 2 cf. tit. Samium ed. a M. Schedio, *Ath. Mitt.* XLIV, 29, n. 14 (= *S.E.G.* I n. 369), 10: καὶ ἡ βουλὴ προεβούλευ[σεν] λέγειν ἐν ταῖς ἀρχαιρεσίαις. || 4 de more Samiorum stipibus collatis operibus publicis

consulendi optime nos edocuit tit. n. 13 (= *S.E.G.* I n. 366). || 5—10 lectio dubia secundum C. Curtium; [ἐν | ταῖς] δυστ[ρα]ι; δοχαιρεσιαις? | vel [ἐν | τῆι] δυστ[ρα]ι τῶν ἀρχαιρεσιῶν] suppl. Preuner. Primum igitur etiam Sami ἐπαγγελία facta est quam suppleas vs. 5 (ἐπιδόσεων Preun.), tum pensio (ἐπίδοσις), cf. Ziebarth, *Griech. Schulw.*[3] 12. Zieb. || 8 in lap. ΙΣΕΙΕΧΘΗ, corr. Zieb.

B

Φιλόστρατος Βρύωνος· δραχμὰς ἑκατόν. | Ζωΐλος Ἱπποθῶντος· ἑκατόν. | [Ἑ]ρ]οικίων Σίμου· ἑκατόν. | Ἀπολλώνιος Ἀρίστωνος·
5 ἑκατόν. || Πυθόλεω(ς) Βοΐσκου· ἑκατόν. | [Πί]νδαρος(?) Ἑρμαίου· ἑκατόν. | [Σωμ]ένης Δημοστράτου· ἑκατόν. | Ἀρ[ισ]τοφῶν Σωμέ-
10 νους· ἑκατόν. | Δημόστρατος Σωμένους· ἑκατόν. || [Σίμ]ων Σίμωνος· ἑκατόν. | [Καλ]λιάδης Πρηξιδήμου· ἑκατόν. | [Δι]οκλῆς Παταίκου· ἑκατόν. | [Ἐπ]ίνικος Τιμοκράτους· ἑκατόν. | Δ[ρ]ύας
15 Ἐπινίκου· ἑκατόν. || Π[ύρ]ρος Σκύμνου· ἑκατόν. | ..... νίας Ἀλέξεω<ς>· ἑκατόν. | ..... Τ.ΡΥΔΟΣ· [δ]ι[α]κοσ[ί]ας.

1 fort. leg. Βρύ(σ)ωνος censet ed., sed cf. Bechtel, *Hist. Personenn.* 101. || 6 Stamatiades inseruit Διονύσιος Ἡρακλειδου· ἑκατόν. || 17 [ε]ρῦδος suppl. Preuner, fort. Τ[η]ρῦδος Cr.

C.

[.....c. 16..... δ]ραχμὰς ἑκ[ατόν. | .....c. 16..... ...μ]ου· ἑκατόν. | [...c. 8...Νικομά]χου· διακοσ[ίας. | .....
5 Νι]κηράτου· ἑκατόν. || .....ίσκος Με(ι)δίου· ἑκατόν. | [Νικί?]ας Νικομάχου· ἑκατόν. | ...Γων Φίλωνος· διακοσίας. | Ἀριστόδημος
10 Ἀρίστωνος· ἑκατ[όν]. | Δημήτριος Σωτάδα· ἑκατόν. || Σύμμαχος Πυθέα· διακοσίας. | Νέων Ζοάνδρου· διακοσίας. | Ζωΐλος Νέωνος· ἑκατόν. | Νέων Νέωνος· ἑκατόν. | Ἀντίπατρος Π[υ]θέα· τριακο-
15 σ[ίας]. || Ποσιδώ[νιο]ς Ἀντιπάτρου· [ἑκατόν]. | Δήμων Ἀριστοτέλους· ἑ[κατόν]. | Ἡρόδοτος Θύωνος· ἑκατ[όν].

7 e. g. [Ἐκά]γων Preuner.

D (descr. solus Curtius).

Δημ[---- δραχμὰς .....] | Ζηνόδοτ[ος .....· ἑκα]τόν. Ἐπίνικος Ἀργείο[υ ἑκατόν]. | Σωκράτης Ἐπιγένο[υς· ἑκ]ατόν. ||
5 Ἀπολλ(ό)δοτος Ἀντή[ν]ορος· δι[ακοσίας]. | Ἀπολλ(ό)δοτος Μα[ι-[α]νδρίου· τρια[κοσίας. | Σ]θεννίδης Ζωΐλου· διακοσίας. | Ὑβλήσιος Σθεννίδου· διακοσία[ς]. | Ἀρ[ιμ]έδης(?) Σωτηρίχου· ἑκατό[ν]. ||
10 Ἱστιαῖος Πύρρου· ἑκατόν. | Στράτων Ἀγαθάρχου· ἑκατό[ν. | Δι]ονύσιος(?) Δημώνακτο[ς· ἑκατόν. | Ἀπο]λλᾶς (?) Δίωνος· ἑκα-
15 τόν. | ..... Διονυσίου· ἑκα[τόν]. || ..... ου· ἑκατόν.

3 suppl. Tod. || 5 in lap. ΑΠΟΛΛΩΔΟΤΟΣ: corr. ed. || 9 exspect. Ἀρ[ιμ]ήδης.

368. Epicrates Demetrii f. Heracleota philosophus a Samiis honoratur, c. a. 200. — Ibid. Inv. n. 208. Stela marm. Ed. M. Schede, *Ath. Mitt.* XLIV, 29, n. 14.

[Ἔδοξε τῶι δήμωι, γνώμη πρυτάνεων· | ὑπὲρ ὧν προεγρά-
ψαντο] Ἐπιφῶν | [τοῦ δεῖνος] Σ[τ]ασίλας Φιλίστου, ὅπως |
5 [Ἐ]πικράτει Δημητρίου Ἡρακλεώτει ‖ [π]εριπατητικῶι πλείονα
χρόνον ἐν | [τῆι] πόλει ἡμῶν παρεπιδεδημηκό|[τι κ]αὶ διὰ τῆς
αὐτοῦ παιδείας πολ[λὰ] τοὺς νέους εὐεργετηκότι δοθῆι | [πολι]-
10 τεία καθότι ἂν τῆι βουλῆι καὶ ‖ [τῶι δή]μωι δόξει, καὶ ἡ
βουλὴ προεβούλευ|[σεν] λέγειν ἐν ταῖς ἀρχαιρεσίαις· | [ἐπειδὴ
Ἐπικ]ράτης Δημητρίου Ἡρακλε|[ώτης περ]ιπατητικὸς πλείονα
15 χρόνον | [παρεπιδε]δήμηκεν ἡμῶν ἐν τεῖ πόλει ‖ [καὶ διὰ τῆς]
αὐτοῦ παιδείας πολλὰ | [τοὺ]ς νέους εὐεργέτηκεν χαρίζεσ|[θαι
βο]υλόμενος καὶ ἰδίαι τοῖς ἁπαντῶ|[σι τ]ῶν συσχολαζόντων
20 ἑαυτῶι καὶ | [κοιν]ῆι τῶι δήμωι, μεταδιδοὺς ἀφθόνως ‖ [τῆς καθ'
αὐτὸν παιδείας τοῖς βουλομέ|[νοις] μετέχειν τῶμ πολιτῶν τοῖς
τε | [μὴ] δυναμένοις τῶ[ν] δ[η]μοτῶν τελεῖν | [τὸν] ἐκκείμενον
ὑφ' αὐτοῦ μισθὸν προῖκα | [σχο]λάζων· ὅπως οὖν καὶ ἡμεῖς
25 φαινώμε‖[θα το]ὺς ἀγαθοὺς καὶ ἀξίους ἄνδρας | [καὶ δ]υνα-
μένους ὠφελεῖν τῶν νέων | [τοὺς] φιλομαθοῦντας, προεστη-
κότα[ς | ....] του καὶ βίου δέοντας τιμῶν[τες, | δεδόχθαι]
30 τῶι δήμωι· δοῦναι Ἐπ[ικράτει ‖ πολιτείαν ἐ]φ' ἴσαι καὶ ὁμοίαι,
ὁ δὲ γ[ραμματ|εὺς τῆς β]ουλῆς Νικόμαχος [ἐπικληρω|σάτω
Ἐπικράτ]ην ἐπὶ φυλὴν [καὶ χιλιαστύν].

3 Στασίλας: fortasse ex Heracleota Samius factus hospesque Epicratis. Cr. ‖ 4 Epicrates peripateticus aliunde ignotus; num idem sit atque Epicrates, qui inter curatores testamenti Stratonis († 272 a. Chr.) apparet (Diog. Laert. V, 62) nescimus. Cr. ‖ 23 de mercede magistrorum migrantium egit E. Ziebarth, *Griech. Schulwesen*[2], 122, ubi adde cum hoc nova exempla *Klio* XV, 38, n. 61, *Syll.*[3] 775; cf. H. v. Arnim, *Dio* 16 ‖ 28 post προεστηκότας nonnulla excidisse, velut (δὶ ἐκτενῆς καὶ ἄριστα μαθημάτων) λόγου κ. βίου δ. τ. censet Cr.; δεόντ(ω)ς dubitanter Hiller. ‖ 31/2 suppl. Zieb.

369. Ibid. Inv. n. 139. Basis marm. albi. Ed. cum imagine phot. M. Schede, *op. cit.* 21, n. 8.

